

## ΦΕΒΡΟΥΑΡΙΟΥ ΚΒ΄

### Μνήμη τοῦ ἁγίου πατρὸς ἡμῶν

## ΑΡΙΣΤΩΝΟΣ

### ἐπισκόπου Ἀρσινόης

ΕΝ ΤΩι ΜΙΚΡΩι ΕΣΠΕΡΙΝΩι

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους δ΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια

Ἦχος α΄ Πανεύφημοι Μάρτυρες ὑμᾶς.

Ἀρίστων ἐπίσκοπε σοφέ, Ἀρσινόης κόσμημα, καὶ νήσου Κύπρου θησαύρισμα, τὴν θείαν μνήμην σου, εὐσεβῶν χορεῖαι, ὕμνοις καταστέφοντες, βοῶμεν· ἱεράρχα θεόληπτε, Χριστὸν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Ἀρίστων ἀγάπης πρὸς Θεόν, καὶ πρός πάντα ἔγγιστα, κανὼν καὶ γνώμων εὐθύτατε, σοφῶς κατηύθυνας, σὴν λαχοῦσαν ποίμνην, πρὸς λαμπρὰ σκηνώματα, ἀλήκτου ἐν τῷ πόλῳ τερπνότητος, ἐν οἷς ἀγάλλονται, οἱ Θεῷ εὐαρεστήσαντες, σὺν ἀγγέλοις, ὁσίοις καὶ μάρτυσιν.

Ἀρίστων ὡς σκεῦος ἐκλογῆς, σὴν ἀγέλην ἔλλογον, ὡδήγησας πανσόφοις σου ῥήμασι, καὶ παραδείγματι, τῷ σῷ θείῳ μάκαρ, πρὸς νομὴν οὐράνιον, θεόφρον Ἀρσινόης ἐπίσκοπε, πνευματοφόρητε, ποιμασίας ἐνδεικνύμενος, φιλοθέου, φωστὴρ τηλαυγέστατος.

Ἀρίστων σοφίας ποταμέ, καὶ ἀγάπης χείμαρρε, ψυχὰς ἀνίκμους ἐδρόσισας, καταφευγούσας σοι, καὶ ψεκάσι λόγων, πάτερ ψυχοτρόφων σου, ἡγίασας καρδίας τιμώντων σε, μύστα τῆς χάριτος· ὅθεν πάντες ἑορτάζοντες, τὴν σὴν μνήμην, τοὺς πόνους σου σέβομεν.

Δόξα... Ἦχος β΄

Πατρικῶς προϊστάμενος ποίμνης τῆς Ἀρσινόης, οἰακοστρόφος ψυχῶν ὤφθης ἀπλανέστατος, καὶ χαρίτων θείων μυροθήκη πολύτιμος, Ἀρίστων ἱεράρχα θεόκλητε· χαριτωθεὶς οὖν δαψιλῶς οὐρανόθεν, καὶ θαυμάτων γενόμενος παντοίων πρόξενος, ἐκτενῶς πρεσβεύεις τῷ δοξάσαντί σε Κυρίῳ, ὑπὲρ τῶν τιμώντων τὴν πάνσεπτον μνήμην σου.

Καὶ νῦν... Θεοτοκίον

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Εἰς τὸν Στίχον

Στιχηρὰ Προσόμοια

Ἦχος β΄ Οἶκος τοῦ Ἐφραθᾶ.

Ἄριστος ὡς ποιμήν, τῆς Ἀρσινόης πᾶσαν, ὡδήγησας σὴν ποίμνην, Ἀρίστων ἱεράρχα, θεοφιλὲς πρὸς θέωσιν.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Θεῖε ἀρχιερεῦ, τῆς Ἀρσινόης ὤφθης, κρηπὶς τῆς Ἐκκλησίας, καὶ ἀληθείας στῦλος, Ἀρίστων τρισμακάριστε.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Χάριν παρὰ Θεοῦ, ἀπείληφας πλουσίως, διώκειν δαιμονίων, ἑσμὸν ταῖς σαῖς πρεσβείαις, Ἀρίστων ἐνθεώτατε.

Δόξα... Τριαδικὸν

Χαῖρε Τριὰς σεπτή, ἡ πᾶσι δωρουμένη, ὑγίειαν κατ' ἄμφω, τοῖς Σὲ δοξολογοῦσι, καρδίᾳ τε καὶ χείλεσι.

Καὶ νῦν... Θεοτοκίον

Χαῖρε Μῆτερ Θεοῦ, Ἀρίστωνος λαμπρότης, τοῦ θείου ἱεράρχου, τῆς Ἀρσινόης Κύπρου, ἁγνὴ Θεογεννήτρια.

Ἀπολυτίκιον

Ἦχος πλ. α΄ Τὸν συνάναρχον Λόγον.

Τῶν ἀρίστων ποιμένων τὸ ἐγκαλλώπισμα, ἱεροφάντορα θεῖον, τῆς Ἀρσινόης λαμπρῶς, εὐφημήσωμεν Ἀρίστωνα τὸν ἔνδοξον, δαιμονιώντων ἰατρόν, καὶ μεσίτην πρὸς Θεόν, ἀνύστακτον εὐσεβούντων, ἐπιζητούντων ἀρίστην, ὁδεῦσαι τρίβον τῆς θεώσεως.

Καὶ Ἀπόλυσις

## ΕΝ ΤΩι ΜΕΓΑΛΩι ΕΣΠΕΡΙΝΩι

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους ϛ΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια

Ἦχος δ΄ Ἔδωκας σημείωσιν.

Πάτερ ἐνθεώτατε, κατ' ἀρχεκάκου ἀλάστορος, ἀριστεὺς ὁ πανάριστος, ὡς ἔφη Νεόφυτος, Ἔγκλειστος ὁ μέγας, ὤφθης Ἀρσινόης, θεοειδὴς ἀρχιερεύς, καὶ Ἐκκλησίας Χριστοῦ καλλώπισμα· διὸ τὴν θείαν μνήμην σου, περιχαρῶς ἑορτάζοντες, ἀνυμνοῦμεν τοὺς πόνους σου, τοὺς ἀόκνους πρὸς θέωσιν.

Ἔρεισμα τῆς πίστεως, ἀδιατάρακτον ὅσιε, Ἀρσινόης ἐπίσκοπε, σοφὲ καὶ κειμήλιον, ἀγωγῆς ἐνθέου, εὐλαβὲς Ἀρίστων, τῆς εὐσεβείας φρυκτωρέ, καὶ ποιμασίας φανὲ περίλαμπρε· ἡμῖν πηγάζεις πάντοτε, ῥεῖθρα τῆς θείας σου χάριτος, καὶ ἀρδεύεις ἑκάστοτε, τὰς ψυχὰς τῶν τιμώντων σε.

Ἔχων ἐν τῷ βίῳ σου, τὴν ἀρετὴν πάτερ σύνοικον, ἱεράρχα θειότατε, Ἀρίστων μακάριε, καὶ Θεοῦ σοφίαν, σύναυλον ἀνῆλθες, τὴν κλίμακα τὴν σωστικήν, καὶ εἰς θεώσεως ὕψος ἄρρητον, ἀνῆλθες· ὅθεν εἴληφας, θεόθεν χάριν τὰ πνεύματα, δαψιλῶς τὰ ἀκάθαρτα, ἐκδιώκειν πανεύφημε.

Ὤφθης ἀγαπήσεως, Χριστοῦ Ἀρίστων ἀρχέτυπον, ταπεινώσεως ἄγαλμα, συνέσεως μέλαθρον, καὶ φιλανθρωπίας, ἄστρον φωτοφόρον, φωταγωγοῦν πᾶσαν τὴν γῆν, τῆς συμπαθείας ἀδύτῳ φέγγει σου· διό σε μακαρίζοντες, καὶ ἀνυμνοῦντες ἀγῶνάς σου, τοὺς τιμίους γεραίρομεν, τὴν πανσέβαστον μνήμην σου.

Ἄνδρα τιμιώτατον, ἀγγελικὴν ὄψιν ἔχοντα, εὐσυμπάθητον ὅσιον, πραΰτατον πάνσοφον, καὶ σημειοφόρον, ἔγνωμέν σε πάντες, ἱερομύστα θαυμαστέ, τῆς Ἀρσινόης καὶ θεοδόξαστε, τῆς Κύπρου γόνε· ὅθεν σου, τὰ ἱερὰ κατορθώματα, καὶ τὸ ἄγρυπνον ὄμμα σου, ποιμασίας γεραίρομεν.

Μνήμην τὴν ἁγίαν σου, καὶ παμφαῆ ἑορτάζοντες, Ἀρσινόης ἐπίσκοπε, σεπτὲ καὶ στερρότατε, τῶν Κυπρίων στῦλε, σοὺς σεπτοὺς καμάτους, ἀνευφημοῦμεν οὓς καλῶς, ὑπὲρ ποιμνίου σου ἔτλης πάντιμε, Ἀρίστων καὶ κραυγάζομεν· μὴ διαλείπῃς ἀείποτε, δυσωπῶν τὸν Παντάνακτα, ὑπὲρ πάντων ὑμνούντων σε.

Δόξα... Ἦχος πλ. β΄

Ποιμαντικαῖς ἀρεταῖς κεκοσμημένος, καὶ ἀστραπαῖς εὐσεβείας διηυγασμένος, ὡς νοητὸς πυρφόρος ἄνθραξ, ἐθέρμανας τὰς ψυχὰς τοῦ λογικοῦ τῆς Ἀρσινόης ποιμνίου σου, Ἀρίστων πανσεβάσμιε, μιμητὴς γὰρ ὑπάρχων τοῦ ἀρχιποίμενος Χριστοῦ, καὶ τρίβοις ἀποστόλων ἀκολουθήσας, πρότυπον γέγονας σταθηροῦ τῶν ψυχῶν οἰακοστρόφου· διαλάμψας οὖν ἐν ἀρεταῖς καὶ σοφίᾳ καὶ φρονήσει, κατ' ἀξίαν ἐδέξω τὴν χάριν πρεσβεύειν, τῷ ἀκροτάτῳ τῶν ἐφετῶν, Κυρίῳ τῆς δόξης, ὑπὲρ τῶν τιμώντων ἐκθύμως τὴν ἀεισέβαστον μνήμην σου.

Καὶ νῦν... Θεοτοκίον

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; Ὁ γὰρ ἀχρόνως ἐκ Πατρός, ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος. Φῶς ἱλαρόν. Τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα

## Παροιμιῶν τὸ Ἀνάγνωσμα

(Κεφ. δ΄ 10-19)

Ἄκουε, υἱέ, καὶ δέξαι ἐμοὺς λόγους, καὶ πληθυνθήσεται ἔτη ζωῆς σου, ἵνα σοι γένωνται πολλαὶ ὁδοὶ βίου· ὁδοὺς γὰρ σοφίας διδάσκω σε, ἐμβιβάζω δέ σε τροχιαῖς ὀρθαῖς. Ἐὰν γὰρ πορεύῃ, οὐ συγκλεισθήσεταί σου τὰ διαβήματα, ἐὰν δὲ τρέχῃς, οὐ κοπιάσεις. Ἐπιλαβοῦ ἐμῆς παιδείας, μὴ ἀφῇς, ἀλλὰ φύλαξον αὐτὴν σεαυτῷ εἰς ζωήν σου. Ὁδοὺς ἀσεβῶν μὴ ἐπέλθῃς, μηδὲ ζηλώσῃς ὁδοὺς παρανόμων· ἐν ᾧ ἂν τόπῳ στρατοπεδεύσωσι, μὴ ἐπέλθῃς ἐκεῖ, ἔκκλινον δὲ ἀπ' αὐτῶν καὶ παράλλαξον. Οὐ γὰρ μὴ ὑπνώσωσιν, ἐὰν μὴ κακοποιήσωσιν, ἀφῄρηται ὁ ὕπνος αὐτῶν καὶ οὐ κοιμῶνται· οἵδε γὰρ σιτοῦνται σῖτα ἀσεβείας, οἴνῳ δὲ παρανόμῳ μεθύσκονται. Αἱ δὲ ὁδοὶ τῶν δικαίων ὁμοίως φωτὶ λάμπουσι, προπορεύονται καὶ φωτίζουσιν, ἕως κατορθώσῃ ἡ ἡμέρα· αἱ δὲ ὁδοὶ τῶν ἀσεβῶν σκοτειναί, οὐκ οἴδασι πῶς προσκόπτουσιν.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα

(Κεφ. α΄ 1–10)

Ἀγαπήσατε δικαιοσύνην, οἱ κρίνοντες τὴν γῆν, φρονήσατε περὶ τοῦ Κυρίου ἐν ἀγαθότητι, καὶ ἐν ἁπλότητι καρδίας ζητήσατε αὐτόν· ὅτι εὑρίσκεται τοῖς μὴ πειράζουσιν αὐτόν, ἐμφανίζεται δὲ τοῖς μὴ ἀπιστοῦσιν αὐτῷ. Σκολιοὶ γὰρ λογισμοὶ χωρίζουσιν ἀπὸ Θεοῦ, δοκιμαζομένη τε ἡ δύναμις ἐλέγχει τοὺς ἄφρονας. Ὅτι εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία, οὐδὲ κατοικήσει ἐν σώματι κατάχρεῳ ἁμαρτίας· ἅγιον γὰρ πνεῦμα παιδείας φεύξεται δόλον καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων καὶ ἐλεγχθήσεται ἐπελθούσης ἀδικίας. Φιλάνθρωπον γὰρ πνεῦμα σοφία καὶ οὐκ ἀθωώσει βλάσφημον ἀπὸ χειλέων αὐτοῦ· ὅτι τῶν νεφρῶν αὐτοῦ μάρτυς ὁ Θεὸς καὶ τῆς καρδίας αὐτοῦ ἐπίσκοπος ἀληθὴς καὶ τῆς γλώσσης ἀκουστής· ὅτι πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην, καὶ τὸ συνέχον τὰ πάντα γνῶσιν ἔχει φωνῆς. Διὰ τοῦτο φθεγγόμενος ἄδικα οὐδεὶς μὴ λάθῃ, οὐδὲ μὴ παροδεύσῃ αὐτὸν ἐλέγχουσα ἡ δίκη. Ἐν γὰρ διαβουλίοις ἀσεβοῦς ἐξέτασις ἔσται, λόγων δὲ αὐτοῦ ἀκοὴ πρὸς Κύριον ἥξει εἰς ἔλεγχον ἀνομημάτων αὐτοῦ· ὅτι οὖς ζηλώσεως ἀκροᾶται τὰ πάντα καὶ θροῦς γογγυσμῶν οὐκ ἀποκρύπτεται.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα

(Κεφ. γ΄ 1– 9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

### Εἰς τὴν Λιτὴν

### Στιχηρὰ Ἰδιόμελα

### Ἦχος α΄

Εὐφραίνου ἐν Κυρίῳ Ἀρσινοϊτῶν ἡ ὁμήγυρις, τελοῦσα τὴν μνήμην τοῦ σοφοῦ ἀρχιποίμενός σου, Ἀρίστωνος τοῦ οὐρανόφρονος· οὗτος γὰρ εἰς ὕψος ἀρθεὶς ἀρετῶν δυσαντίβλεπτον, ἐμπεριστάτων καὶ χειμαζομένων, ἐπώφθη ἀνύστακτος προστάτης, καὶ χειραγωγὸς ἀπλανέστατος πρὸς σωτηρίαν· καὶ νῦν Χριστοῦ τῷ θρόνῳ παριστάμενος, τοῦ βραβεύοντος πᾶσι ζωὴν τὴν αἰώνιον, καὶ Αὐτοῦ τὸ ἀμήχανον ἀπολαύων κάλλος, ἀδιαλείπτως πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

### Ἦχος β΄

Τῆς Κύπρου τὸ θεαυγέστατον ἄστρον, καὶ Ἐκκλησίας τὸν παμφαέστατον φωστῆρα, Ἀρίστωνα τὸν Ἀρσινόης ἱεράρχην, οἱ πιστοὶ ἀξιοχρέως εὐφημήσωμεν· οὗτος γὰρ ἀκτῖσι ἀκραιφνοῦς πολιτείας, καὶ βολαῖς εὐσεβείας καὶ πίστεως, τοὺς ὑπὸ ζυγὸν τοῦ ἀρχεκάκου στένοντας ἠλευθέρωσε, καὶ πάντας τοὺς ἐν ἀγνωσίᾳ κειμένους κατεφώτισε· καὶ νῦν ὡς κληρονόμος τοῦ τῶν οὐρανῶν στερεώματος, Χριστῷ τῷ Θεῷ ἀδιαλείπτως πρεσβεύει, διασκεδάσαι καὶ ἡμῶν τὴν σκοτίαν τῶν δεινῶν καὶ τῶν θλίψεων.

### Ἦχος γ΄

Τὴν ματαιότητα τῶν προσκαίρων καὶ φθειρομένων, ἐνωρὶς ἐννοήσας Ἀρίστων μακάριε, ζηλωτὴς τῶν ἀρρεύστων καὶ ἀφθάρτων ἐγένου· ἀνελθὼν εἶτα τῆς ἱερωσύνης καὶ ἀρετῆς τὰς βαθμίδας, ποιμὴν θεοπρόβλητος Ἀρσινόης ἐχρημάτισας· καὶ νῦν σὺν ἀγγέλων χορείαις εὐφραινόμενος, τοὺς ἐκτελοῦντας τὴν μνήμην σου εὐλόγει, καὶ πλήρου αὐτῶν τὰ πρὸς σωτηρίαν αἰτήματα.

### Ἦχος δ΄

Τῇ προστασίᾳ σου καταφεύγοντες οἱ τῆς Ἀρσινόης ἐμπερίστατοι, καὶ ἀρωγὸν ἐν τοῖς κινδύνοις κατέχοντές σε, Θεὸν ἐδόξαζον τὸν σὲ αὐτοῖς ἀληθῆ ποιμένα δωρησάμενον· μὴ οὖν παύσῃ Ἀρίστων μακάριε, καὶ νῦν Χριστῷ ὑπὲρ αὐτῶν καὶ ἡμῶν ἀναφέρων δεήσεις, τῶν ὡς ἄγρυπνον μεσίτην τιμώντων σε, ἵνα εὕρωμεν ἔλεος ἐν τῇ ἡμέρᾳ τῆς Κρίσεως.

### Δόξα... Ἦχος ὁ αὐτὸς

Δεῦτε πάντες φιλέορτοι, τὸν τιμηθέντα ἱεραρχίας τῇ ἀξίᾳ, καὶ ἀπλανῶς κατευθύναντα τὴν αὐτοῦ ποίμνην, Ἀρίστωνα τὸν πανεύφημον ᾀσματικοῖς ἐγκωμίοις καταστέψωμεν, πανευλαβῶς κραυγάζοντες· Ἀρσινόης διάκοσμε καὶ στήριγμα, δυσώπει τὸν Κύριον τῆς δόξης διδόναι τοῖς ἱκέταις σου, πταισμάτων λύσιν καὶ αὐτοῦ τὸ μέγα καὶ πλούσιον ἔλεος.

### Καὶ νῦν... Θεοτοκίον

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε, εὐλογημένη Θεοτόκε· ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

### Εἰς τὸν Στίχον

### Στιχηρὰ Προσόμοια

### Ἦχος πλ. α΄ Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις κοσμῆτορ ἱεραρχῶν, ὁ ἀριστεὺς κατὰ δαιμόνων ὁ ἄριστος, τὸ κλέος τῆς Ἀρσινόης, καὶ Κύπρου εὖχος σεπτόν, Ὀρθοδόξων δήμων, μέγα στήριγμα· Ἀρίστων θεόφιλε, ἀλανθάστως κατηύθυνας, τὴν λογικήν σου, ποίμνην πρὸς ὁλοκλήρωσιν, καὶ πρὸς θέωσιν, ἱεράρχα πανεύφημε, ῥάβδῳ σῆς ἀγαθότητος, ἀγάπης πρὸς ἅπαντας, καὶ ἀρετῆς καὶ σοφίας, δι᾽ ὧν σε Κύριος ἔπλησε· καὶ νῦν καθοδήγει, τοὺς τὴν μνήμην σου τελοῦντας, πρὸς βίον κρείττονα.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Χαίροις τῆς νήσου Κύπρου φανέ, τῆς Ἀρσινόης ἐνδιαίτημα πάντιμον, καὶ ἄριστε ἱεράρχα, τῆς Ἐκκλησίας Χριστοῦ, ὁ ἐκ πλάνης σώσας, τὴν ἀγέλην σου, τρισμάκαρ τὴν ἔλλογον, καὶ ἰθύνας πρὸς θέωσιν, καὶ ἀφθαρσίαν, τὴν θεόθεν λαχοῦσάν σοι, ἐνθεώτατε, ἀριστείας ἐπώνυμε· ὅθεν πανηγυρίζοντες, τὴν πάνσεπτον μνήμην σου, ἀναβοῶμεν· δυσώπει, Χριστὸν ἡμῖν δοῦναι ἅπασιν, ὁμόνοιαν, ῥώμην, καὶ ἰσχὺν κατατροπῶσαι, ἐχθρὸν τὸν δόλιον.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Μνήμην τὴν σὴν τελοῦντες λαμπρῶς, Ἀρίστων θεῖε Ἀρσινόης ἐπίσκοπε, καρδίας ἐκ τῶν μυχίων, ἀναβοῶμεν θερμῶς· ἱεράρχα σῶφρον, ἀξιάγαστε, Χριστοῦ ἐν σκηνώμασιν, ὁ ἀεὶ εὐφραινόμενος,

καὶ σὺν ἀγγέλων, ταῖς χορείαις ἀέναον, δόξαν ᾄσμενος, πέμπων τῷ Παντοκράτορι, δέξαι τόδε μελῴδημα, καὶ πάντας ἀξίωσον, εὐγνωμονεῖν καὶ δοξάζειν, τὸν πολυεύσπλαγχνον Κύριον, χαρᾶς κληρονόμους, τῆς ἀφθίτου τοὺς οἰκέτας, Αὐτοῦ δεικνύοντα.

Δόξα... Ἦχος πλ. δ΄

Τὸν ἱεράρχην ἀναδειχθέντα θεόσοφον, τὸν καλῶς προεστῶτα ἐν κινδύνοις τῆς αὐτοῦ λογικῆς ποίμνης, Ἀρίστωνα τῆς Ἀρσινόης τὸ εὖχος μακαρίσωμεν, πιστῶς κραυγάζοντες· κοσμῆτορ τῆς τοῦ Χριστοῦ Ἐκκλησίας πολυτίμητε, ὡς σκεῦος εὔχρηστον τοῦ πανσθενοῦς Παρακλήτου, καὶ ἰθυντὴρ ἀπλανέστατος τοῦ λαοῦ τοῦ Κυρίου, ἠξιώθης οὐρανίου ἀπολαῦσαι δόξης ἐν πόλῳ, ἔνθα ἐκτενῶς πρεσβεύεις ὑπὲρ τῶν τιμώντων σε.

Καὶ νῦν... Θεοτοκίον

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Ἀπολυτίκιον

Ἦχος πλ. α΄ Τὸν συνάναρχον Λόγον.

Τῶν ἀρίστων ποιμένων τὸ ἐγκαλλώπισμα, ἱεροφάντορα θεῖον, τῆς Ἀρσινόης λαμπρῶς, εὐφημήσωμεν Ἀρίστωνα τὸν ἔνδοξον, δαιμονιώντων ἰατρόν, καὶ μεσίτην πρὸς Θεόν, ἀνύστακτον εὐσεβούντων, ἐπιζητούντων ἀρίστην, ὁδεῦσαι τρίβον τῆς θεώσεως.

Δόξα... Καὶ νῦν... Θεοτοκίον

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος· χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ· χαῖρε ἀχείμαστε λιμὴν καὶ ἀπειρόγαμε· ἡ τεκοῦσα ἐν σαρκί, τὸν Ποιητήν σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν Τόκον σου.

Καὶ Ἀπόλυσις

## ΕΝ ΤΩι ΟΡΘΡΩι

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα

Ἦχος α΄ Τὸν τάφον σου Σωτήρ.

Τὴν μνήμην σου λαμπρῶς, οἱ πιστοὶ ἐκτελοῦντες, Ἀρίστων θαυμαστέ, Ἀρσινόης ἐπόπτα, καὶ πόνους τοὺς συντόνους σου, καὶ ἀόκνους γεραίροντες, οὓς ὑπήνεγκας, ὑπὲρ ἐλλόγου σου ποίμνης· μεγαλύνομεν, τὸν σὲ δοξάσαντα πόθῳ, θαυμάτων ταῖς χάρισι.

Δόξα... Καὶ νῦν... Θεοτοκίον

Μαρία ἐκλεκτόν, τοῦ Δεσπότου δοχεῖον, μὴ παύσῃ σὸν Υἱόν, δυσωποῦσα Παρθένε, διδόναι τοῖς μέλπουσι, τοῦ Ἀρίστωνος σκάμματα, θείαν δύναμιν, ἄμφω ὑγίειαν, ῥώμην, σθένος, δύναμιν, καὶ εὐψυχίαν πατῆσαι, δολίου τὸ φρύαγμα.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα

Ἦχος δ΄ Ταχὺ προκατάλαβε.

Ἀ'ρίστων τρισμέγιστε, ἱεραρχῶν καλλονή, πραέων ἀκρώρεια, σοφῶν σεμνότης ἀνδρῶν, καὶ χάριτος σκήνωμα, σκέπε τοὺς σὲ τιμῶντας, ὕμνοις μελισταγέσι, καὶ τὴν σεπτήν σου μνήμην, ἐκτελοῦντας ἐκθύμως· ὑπάρχεις γὰρ πιστῶν ἀκεστήρ, καὶ θεῖος πρόμαχος.

Δόξα... Καὶ νῦν... Θεοτοκίον

Φθορᾶς ἀπελύτρωσας, ἅπαν τὸ γένος βροτῶν, κυήσασα Δέσποινα, ὑπερφυῶς τὴν Ζωήν, Χριστὸν τὸν Θεὸν ἡμῶν· ὅθεν μερόπων πλήθη, σὲ γεραίροντες πόθῳ, τὰς σωστικὰς πρεσβείας, τὰς θερμὰς ἐκζητοῦμεν, πρὸς τὸν μονογενῆ σου Υἱόν, καὶ θεῖον Τόκον σου.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα

Ἦχος γ΄ Τὴν ὡραιότητα τῆς παρθενίας σου.

Τῆς ποιμασίας σου ῥάβδῳ ὡδήγησας, λαὸν χριστώνυμον πρὸς ὕψος ἄρρητον, τῆς Ἀρσινόης ἀρετῆς καὶ ἔμφρονος πολιτείας· ὅθεν καὶ ἀπείληφας οὐρανόθεν τὸ χάρισμα, ἐκδιώκειν δαίμονας καὶ παρέχειν ὑγίειαν, τοῖς πίστει σοι προσφεύγουσι τάχος, πάτερ Ἀρίστων θεοφόρε.

Δόξα... Καὶ νῦν... Θεοτοκίον

Τὴν σκοτισθεῖσάν μου ψυχὴν καταύγασον, φωτὶ τῆς χάριτος τοῦ θείου Τόκου σου, ἁγνὴ Παρθένε Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων, καὶ ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου, ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως, καὶ πόθῳ ἀσιγήτως βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

Τὸ Α΄ Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ΄ Ἤχου

Προκείμενον, Ἦχος δ΄

Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Στίχ. Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.

Πᾶσα πνοὴ

Τὸ Εὐαγγέλιον

**Ἐκ τοῦ κατὰ Ἰωάννην**

(Κεφ. ι΄ 1 - 9)
(Ζήτει ἐν τῷ Ὄρθρῳ τῆς ΙΓ΄ Νοεμβρίου)

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας...

Ὁ Ν΄ Ψαλμὸς

Δόξα... Ταῖς τοῦ Ἱεράρχου...

Καὶ νῦν... Ταῖς τῆς Θεοτόκου...

Στίχ. Ἐλέησόν με, ὁ Θεός...

Τὸ Ἰδιόμελον

Ἦχος πλ. β΄

Τῶν ἀποστόλων μιμούμενος τρόπους, τῇ σαγήνῃ τῶν λόγων σου ἐζώγρησας πρὸς σωτηρίαν, τὴν λαχοῦσάν σοι ποίμνην Ἀρίστων θεόφιλε· ἔχων γὰρ συμπαραστάτας ἁγίους ἀγγέλους, καὶ συλλειτουργούς σου ἐν τῷ ἐπιγείῳ θυσιαστηρίῳ, σὺν αὐτοῖς ἠξιώθης συλλειτουργεῖν ἐν πόλῳ· καταλαμπρύνας οὖν τὴν τῆς Ἀρσινόης ἐκκλησίαν, αὐγαῖς σῆς εὐσεβείας καὶ εὐψυχίας, Χριστῷ ἀπῆλθες πρεσβεύων ὑπὲρ τῶν τιμώντων σε.

Ὁ Κανὼν τοῦ Ἱεράρχου, οὗ ἡ Ἀκροστιχίς·

Ἀρίστωνος, Ἀρσινόης ποιμένος, αἶνος. Χ. Μ.

Ὠδὴ α΄

Ἦχος δ΄ Ἀνοίξω τὸ στόμα μου.

Ἀρίστων μακάριε, τῆς Ἀρσινόης περίβλεπτον, καὶ πάνσεπτον καύχημα, ἱεραρχῶν καλλονή, καὶ ἀγλάϊσμα, Χριστοῦ τῆς Ἐκκλησίας, ἡμῶν δέξαι αἴνεσιν, τῶν προστρεχόντων σοι.

Ῥοδὼν ὤφθης χάριτος, καὶ ἀρετῶν εὐωδέστατος, Ἀρίστων περίδοξε, τῆς Ἀρσινόης ποιμήν, καὶ ἡδύπνευστος, λειμὼν χρηστοηθείας, μυρίζων τὰ πέρατα, τῇ εὐωδίᾳ σου.

Ἱδρῶσιν ἐνθέοις σου, τὰ τῆς σαρκὸς κατενίκησας, φρονήματα ἄριστε, Ἀρίστων ἀρχιερεῦ, καὶ ἐπίανας, καρδίας σῆς ἀγέλης, ἐχούσης σε πρότυπον, πρὸς βίον κρείττονα.

Θεοτοκίον

Συνέσεως ἔκτυπον, ταῖς ἱκεσίαις Ἀρίστωνος, τοῦ θείου Παντάνασσα, ἐλέη τοῦ σοῦ Υἱοῦ, πέμψον ἄνωθεν, ἡμῖν τοῖς σὲ τιμῶσι, καὶ ὕμνοις ἑκάστοτε, σὲ μακαρίζουσι.

Ὠδὴ γ΄

Τοὺς σοὺς ὑμνολόγους.

Τιμήσωμεν ὕμνοις μελιρρύτοις, τὸ καύχημα Κύπρου τὸ σεπτόν, καὶ Ἀρσινόης ἄνθισμα, θεοειδῆ Ἀρίστωνα, ἀρχιερέα πάνσοφον, καὶ ἀρχιθύτην περίδοξον.

Ὡς γνήσιον φίλον τοῦ Κυρίου, ἰσχὺν δεδεγμένον ἀληθῶς, θεόθεν καὶ πανένδοξον, τῆς Ἀρσινόης πρόεδρον, Ἀρίστωνα τιμήσωμεν, ᾠδαῖς καὶ ᾄσμασι πρέπουσι.

Ναὸς χρηματίσας εὐσεβείας, καὶ τέμενος θεῖον προσευχῆς, Ἀρίστων τοὺς τιμῶντάς σε, ναοὺς λαμπροὺς ἀνάδειξον, ὑπομονῆς, χρηστότητος, ἀγαθωσύνης καὶ νήψεως.

Θεοτοκίον

Οὐράνιαι πᾶσαι αἱ δυνάμεις, ὑμνοῦσί σε Δέσποινα σεμνή, Θεοκυῆτορ πάναγνε, καὶ τῶν βροτῶν συστήματα, εἰς τοὺς αἰῶνας ἅπαντας, σὲ ἀκλινῶς μακαρίζουσι.

Κάθισμα

Ἦχος γ΄ Θείας πίστεως.

Ἐνθεώτατε ἱεροφάντορ, ὁ τοῦ Πνεύματος τῇ ἐπινεύσει, τοῦ σεπτοῦ προχειρισθεὶς πάτερ ὅσιε, τῆς Ἀρσινόης ποιμὴν θεοπρόβλητος, καὶ ἰθυντὴρ εὐσεβῶν πρὸς τελείωσιν, καθικέτευε Ἀρίστων τὸν ἀρχιποίμενα, Χριστὸν ὑπὲρ τῶν πίστει ἀνυμνούντων σε.

Δόξα... Καὶ νῦν... Θεοτοκίον

Μῆτερ ἄχραντε τοῦ Θεανθρώπου, ἡ θεώσασα βροτῶν τὸ γένος, καὶ τὸ κράτος τοῦ θανάτου συντρίψασα, τοὺς σὲ τιμῶντας ἐκ τοῦ αἰωνίζοντος, θανάτου ῥῦσαι καὶ ζόφου κολάσεως· ἵνα χαίροντες ὡς ῥύστιν ἡμῶν Παντάνασσα, εἰς πάντας σε αἰῶνας μεγαλύνωμεν.

Ὠδὴ δ΄

Ὁ καθήμενος ἐν δόξῃ.

Σωφροσύνης ἐκμαγεῖον, καὶ συνέσεως κόσμημα, τὸν λαὸν Κυρίου, πρὸς ἐπαγγελίας γῆν ἴθυνας, τὴν ἐν σκηναῖς οὐρανίαις ἐνθεώτατε, πάτερ κράζομεν, Ἀρίστων θεομακάριστε.

Ἀρχιθύτα φωτοφόρε, σῷ ἀνδρείῳ φρονήματι, ἤγειρας τὰ πλήθη, μυστικῶς ὑμνεῖν τὸν Παντάνακτα, ὃν ἀνυμνοῦσιν ἀγγέλων τὰ στρατεύματα, ἐν τοῖς δώμασιν, Ἀρίστων τοῖς ἄνω πάντοτε.

Ῥώμην σῆς ψυχῆς Ἀρίστων, καὶ καρδίας θεώμενος, ὁ χορὸς πατέρων, Κύπρου σε ταχὺ προεχείρισεν, ἀρχιερέα ποιμᾶναι τὴν θεόλεκτον, ποίμνην ἅγιε, τῆς Ἀρσινόης τὴν πάνσεμνον.

Θεοτοκίον

Σὺν χορείαις ἀσωμάτων, ἀνυμνοῦμέν σε πάντοτε, Κεχαριτωμένη, Μῆτερ τοῦ Θεοῦ ἀειπάρθενε· πιστῶν γὰρ πάντων ὑπάρχεις καταφύγιον, καὶ διάσωσμα, τοῦ μεροπείου συστήματος.

Ὠδὴ ε΄

Ἐξέστη τὰ σύμπαντα.

Ἱκέτευε Κύριον, ὑπὲρ τῶν εὐφημούντων σε, καὶ μεγαλυνόντων σοὺς ἀγῶνας, οὓς ἔτλης πάτερ, ὑπὲρ ἀγέλης τῆς σῆς, Ἀρίστων πατέρων χαρμονή, καὶ ποιμένων σέμνωμα, Ἀρσινόης περίδοξον.

Νικήσας τὸν δόλιον, καὶ πτερνιστὴν τοῦ τάγματος, πάντων χοϊκῶν ἱεροφάντορ, εἴληφας χάριν, ἐλαύνειν τῇ σῇ εὐχῇ, δαιμόνων ἑσμὸν ἐκ τῶν πιστῶς, προσφευγόντων ἅγιε, τῇ δοθείσῃ σοι χάριτι.

Ὁμόζηλος ἅγιε, τῶν ἀποστόλων πέφηνας, καὶ ἱεραρχῶν σοφῶν φαιδρότης, Ἀρίστων μάκαρ, τῆς Ἀρσινόης ποιμήν· διόπερ ὡς σκεῦος ἐκλογῆς, τοῦ Ἁγίου Πνεύματος, σὲ ἀεὶ μακαρίζομεν.

Θεοτοκίον

Ἡ πάναγνος Δέσποινα, Ἀρίστωνος δεήσεσι, τοῦ τῆς Ἀρσινόης ἱεράρχου, ἀξίωσόν με, συγχαίρειν σοὶ ἀκλινῶς, ἐν δόμοις παμφώτοις οὐρανῶν, τὸν ψαλμοῖς καὶ ᾄσμασι, σὲ λαμπρῶς μακαρίζοντα.

Ὠδὴ ϛ΄

Τὴν θείαν ταύτην καὶ πάντιμον.

Σκιρτᾷ καὶ γάνυται σήμερον, ἡ πόλις Ἀρσινόης τελοῦσά σου, μνήμην τὴν πάνσεπτον, Ἀρίστων θεομακάριστε, ἱεραρχῶν ἐνθέων, φανὲ πολύφωτε.

Προστάτης πέλεις ἀκοίμητος, Ἀρίστων Ἀρσινόης καὶ στήριγμα, τῶν ἐκζητούντων τὴν χάριν σου, ἐν πάσαις βίου ζάλαις, καὶ περιστάσεσι.

Ὀρθῶν δογμάτων ἀρχέτυπον, Ἀρίστων καὶ εὐχῆς στηλογράφημα, σὲ μεγαλύνομεν, ὡς ἀπλανῆ καὶ ἀνύστακτον, ἁπάντων ποδηγέτην, πρὸς βίον κρείττονα.

Θεοτοκίον

Ἰδεῖν τὴν δόξαν τοῦ Τόκου σου, ἐν θρόνῳ οὐρανίῳ ἀξίωσον, Θεογεννήτρια, τοὺς εὐφημοῦντας τὰ σκάμματα, Ἀρίστωνος καὶ ὕμνοις, σὲ μεγαλύνοντας.

Κοντάκιον

Ἦχος πλ. δ΄ Τῇ ὑπερμάχῳ στρατηγῷ.

Τὸν ἱεράρχην Ἀρσινόης τὸν θεόσδοτον, ποιμαντικοῖς τὸν διαπρέψαντα τιμήσωμεν, τρόποις καὶ λαβόντα χάριν ἀξιοχρέως, ἐκ Θεοῦ διώκειν πνεύματα ἀκάθαρτα, πνευματέμφορον Ἀρίστωνα μελίσμασι, θείοις κράζοντες· Χαίροις πάτερ πανάριστε.

## Ὁ Οἶκος

Ἄμεμπτον ποιμασίαν, ἐπιδείξας ἐν Κύπρῳ, Ἀρίστων Ἀρσινόης ἐπόπτα, ἐκδιώκειν δαιμόνων ἑσμόν, οὐρανόθεν χάριν δαψιλῆ εἴληφας· διό σε μακαρίζοντες, κραυγάζομεν πιστῶς τοιαῦτα·

Χαῖρε ὁμόζηλος ἀποστόλων·
χαῖρε ὁ σύσκηνος τῶν πατέρων.

Χαῖρε Ἀρσινόης πυρσὲ τηλαυγέστατε·
χαῖρε τῆς ἀγάπης φανὲ φωτεινότατε.

Χαῖρε κλέος πολυτίμητον εὐγενείας ψυχικῆς·
χαῖρε στῦλος ἀδιάσειστος προστασίας πατρικῆς.

Χαῖρε χειμαζομένων καὶ καμνόντων ἀκέστωρ·
χαῖρε τῶν καθευδόντων πρὸς Θεὸν κατευθύντωρ.

Χαῖρε πιστοῦ λαοῦ ἀγαλλίαμα·
χαῖρε λαμπροῦ ποιμένος ὑπόδειγμα.

Χαῖρε εὐχῆς ἐργαστήριον θεῖον·
χαῖρε ἀγάπης διπλῆς ἐκμαγεῖον.

Χαίροις πάτερ πανάριστε.

## Συναξάριον

Τῇ ΚΒ΄ Φεβρουαρίου, Μνήμη τοῦ ἁγίου πατρὸς ἡμῶν Ἀρίστωνος, ἐπισκόπου Ἀρσινόης.

### Στίχοι

Ἄριστος ἐδείχθης ἀριστεύς, Ἀρίστων,
Ἀρσινόης ἐπόπτα, κατὰ δαιμόνων.

Ὁ ἅγιος πατὴρ ἡμῶν Ἀρίστων, διέπρεψεν ἐπ᾽ εὐσεβείᾳ καὶ ψυχικῇ ῥώμῃ ἐν Ἀρσινόῃ τῆς Κύπρου, ἧς θεοπρόβλητος ὤφθη ἱεράρχης. Οὗτος τῆς λογικῆς αὐτοῦ ποίμνης πατρικῶς προϊστάμενος, καθωδήγησεν αὐτὴν πρὸς βίον ἔνθεον καὶ νομὰς σωτηρίας. Εὐαρεστήσας Θεῷ καὶ ἀνθρώποις, τῇ αὐτοῦ θεοφιλεῖ πολιτείᾳ καὶ ἀπλανεῖ ποδηγεσίᾳ, χάριν εἴληφε δαψιλῶς τῶν θαυμάτων.

Ὁ ἐν ὁσίοις μέγας πατὴρ ἡμῶν Νεόφυτος ὁ Ἔγκλειστος εἰς τὸ αὐτοῦ ἐγκώμιον πρὸς τὸν τῆς Ἀρσινόης ἐπίσκοπον Ἀρκάδιον, ἀποκαλεῖ τὸν Ἀρίστωνα περιβόητον κατὰ δαιμόνων ἄριστον ἀριστέα.

Θεοφιλῶς ὁ Ἀρίστων βιώσας ἐκοιμήθη ἐν εἰρήνῃ, ὁ δὲ ναὸς ἐπὶ τοῦ τάφου αὐτοῦ ἀνεδείχθη πηγὴ ἰάσεων.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη ἱερομάρτυρος Ἀρίστωνος, διαδόχου Ἀποστόλου Βαρνάβα, ἐν Σαλαμίνῃ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη ἐπισκόπου Ἀρίστωνος ὁμολογητοῦ, συγγραφέως βίου ἱερομάρτυρος Φιλωνίδου.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Τελεσφόρου, ἐπισκόπου Ῥώμης.

### Στίχοι

Ἤνεγκε καρπὸν τῇ τομῇ Τελεσφόρος,
Τελεσφορήσας εὐγενὴς οἷα σπόρος.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ ἁγία Ἀνθοῦσα, καὶ οἱ δώδεκα αὐτῆς οἰκέται, ξίφει τελειοῦνται.

### Στίχοι

Εὔνους ἐφεῦρες, Ἀνθοῦσα, τοὺς οἰκέτας,
Ξίφει θανοῦσα, συνθανόντας σοι ξίφει.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ ἅγιος μάρτυς Συνετός, ξίφει τελειοῦται.

### Στίχοι

Ψάλλει Συνετὸς καίπερ ἐκθνήσκων ξίφει:
«Βλέπων ἀσυνετοῦντας ἐξετηκόμην».

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς εὑρέσεως τῶν λειψάνων τῶν ἁγίων μαρτύρων τῶν ἐν τοῖς Εὐγενίου, ἥτις συνέβη ἐν τοῖς χρόνοις Ἀρκαδίου τοῦ βασιλέως καὶ Θωμᾶ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.

### Στίχοι

Φανέντες ἐκ γῆς μάρτυρες κεκρυμμένοι,
Αἴρουσι πᾶσαν ἐκ προσώπου γῆς βλάβην.
Εἰκάδα δευτερίην ἀνὰ σεπτὰ φάνη χθονὸς ὀστᾶ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Ἀθανασίου, τοῦ ἐν τῷ Παυλοπετρίῳ.

### Στίχοι

Ἀθανάσιος, θρέμμα Παυλοπετρίου,
Ἀποστόλοις σύνεστι Παύλῳ καὶ Πέτρῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη Παπίου, ἐπισκόπου Ἱεραπόλεως.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη Βλασίου, πάπα Ρώμης.

### Στίχοι

Ἀρχιερεὺς Βλάσιος ὡράθη μέγας,
Κόσμος πεφηνὼς μᾶλλον αὐτὸς τῷ θρόνῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν ὁσίων πατέρων ἡμῶν Θαλασσίου καὶ Λιμναίου.

Στίχοι

Λιμὴν Λιμναῖον καὶ Θαλάσσιον φέρει,
Ὥς περ θάλασσαν ἐκφυγόντας τὸν βίον.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Βαραδάτου.

Στίχοι

Ἐν γῇ νεκρώσας, ὡς λέγει Παῦλος, μέλη,
Ζωῆς μετέσχεν ἐν πόλῳ Βαραδάτος.

Ταῖς τῶν Ἁγίων σου πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄

Οὐκ ἐλάτρευσαν.

Μακαρίζοντες, τοὺς ἱεροὺς ἀγῶνάς σου, ὑπὲρ τῆς ποίμνης σου, Ἀρίστων περικλεές, ὑμνοῦμεν τοὺς πόνους σου, θεοειδέστατε, πρὸς ἀπόκτησιν, τῆς ἀρετῆς καὶ νήψεως, τῆς λαχούσης σοι ἀγέλης.

Εὐσυμπάθητε, ἀρχιερεῦ περίδοξος, Ἀρίστων πέφηνας, ἀγάπης μυσταγωγός, καὶ πρόμαχος ἄγρυπνος, τοῦ καταφεύγοντος, τῇ ἀόκνῳ σου, προνοίᾳ εὐσεβόφρονος, δήμου καὶ ἐπιστασίᾳ.

Νόσους ἅγιε, δεινὰς ἐκπλύνεις τάχιστα, καὶ ἀρρωστήματα, λοιμώδη καὶ χαλεπά, ἐλαύνεις τῇ χάριτι, τοῦ θείου Πνεύματος, παντευλόγητε, Ἀρίστων θεοφρούρητε, ἀρχιθῦτα Ἀρσινόης.

Θεοτοκίον

Ὁδηγήτρια, ἀπλανεστάτη Δέσποινα, πιστῶν πρὸς θέωσιν, πρεσβείαις τοῦ θαυμαστοῦ, Ἀρίστωνος ἴθυνον, τοὺς σοὶ προσφεύγοντας, πρὸς τελείωσιν, τὴν ἐν Χριστῷ καὶ ἄνοδον, εἰς λειμῶνας σωτηρίας.

Ὠδὴ η΄

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Σὲ ἀνευφημοῦντες ἱεράρχα, τὸν τάχιστα δι' εὐχῆς σου ἐκδιώκοντα, πνεύματα ἀκάθαρτα, θεῖον ὀλετήριον, δαιμόνων τρισμακάριστε, Ἀρίστων καύχημα, Χριστοῦ τῆς Ἐκκλησίας καὶ εὖχος, Ἀρσινόης μέγα, τιμῶμέν σου τὴν μνήμην.

Αἴγλῃ θεϊκῇ κεκοσμημένος, Ἀρίστων, τὴν πολιτείαν σου ἐλάμπρυνας, ἀρετῶν πυρσεύμασι, καὶ ἀγάπης λάμψεσιν, πρὸς τὸν Θεὸν καὶ ἔγγιστα· διὸ ἠξίωσαι, ἰθῦναι ἀσφαλῶς σὴν ἀγέλην, πρὸς πανευφροσύνους, λειμῶνας τοὺς ἐν πόλῳ.

Ἴσχυσας πατάξαι τὸν βελίαρ, τῇ σῇ ταπεινώσει καὶ χρηστότητι, θαυμαστὲ ἐπίσκοπε, Ἀρσινόης κράζομεν, Ἀρίστων θεοτίμητε, καὶ πνευματέμφορε· διό σου νῦν τὴν μνήμην τιμῶντες, σοῦ τοὺς νυχθημέρους, ἀγῶνας εὐφημοῦμεν.

Θεοτοκίον

Νεῦσον ταῖς δεήσεσι σῶν δούλων, σαρκὸς τὰς ἐπαναστάσεις καταπαύουσα, Παναγία Δέσποινα, καὶ ἐννοίας κάθαρον, τῶν πίστει προσφευγόντων σοι, λιταῖς Ἀρίστωνος, τοῦ λάμψαντος ἐν τῇ Ἀρσινόῃ, τρόποις ποιμασίας, καὶ πράξεσιν ἐνθέοις.

Ὠδὴ θ΄

Ἅπας γηγενής.

Ὅρμον τῆς ζωῆς, τῆς ἄνω κατέλαβες, Ἀρίστων πάνσοφε, περατώσας βίον σου, καλῶς καὶ σώσας, ἐκ περιστάσεων, καὶ θλίψεων τὴν ποίμνην σου· διὸ ἠξίωσαι, τοῦ Κυρίου, ὄμμασι θεάσασθαι, σοῖς ἰδίοις τὴν δόξαν τὴν ἄρρητον.

Σὲ ὡς πανσθενῆ, μεσίτην κατέχομεν, ἐν βίου κλύδωσιν, Ἀρσινόης ἔφορε, Ἀρίστων μάκαρ, πνευματοφόρητε, καὶ ἀρωγὸν ἀνύστακτον, οἱ χειμαζόμενοι, ἱεράρχα, μελῳδοῦντες σκάμματα, σὰ σεπτὰ ἀρετῆς πρὸς ἀπόκτησιν.

Χαῖρε ἀριστεῦ, τοῦ Πνεύματος ὅσιε, Ἀρίστων κράζομεν, χαῖρε θεῖε ἄνθρωπε, χαρὰ ἀγγέλων, καὶ ἰσουράνιε, βροτὲ ὁ τὴν ἀγέλην σου, ἰθύνας ἄριστα, Ἀρσινόης, πρὸς λειμῶνας χάριτος, καὶ λιμένα Θεοῦ ἀκλυδώνιστον.

Θεοτοκίον

Μῆτερ τοῦ Θεοῦ, ἁγνὴ ἀειπάρθενε, σὲ μακαρίζοντες, καὶ Υἱὸν δοξάζοντες, μονογενῆ σου,

βοῶμεν Δέσποινα· μὴ παύσῃ προστατεύουσα, ἡμᾶς καὶ σκέπουσα, ἐν κινδύνοις, καὶ δεινοῖς κακώσεσι, τοὺς πιστῶς τῇ σῇ χάριτι σπεύδοντας.

Ἐξαποστειλάριον

Γυναῖκες ἀκουτίσθητε.

Τῆς Ἀρσινόης καύχημα, καὶ Ἐκκλησίας σέμνωμα, Ἀρίστων πνευματοφόρε, πιστῶν θερμὸς παραστάτης, καὶ ἀρωγὸς καὶ στήριγμα, ἐμπεριστάτων μέγιστον, ἐδείχθης τρισμακάριστε· διὸ τὴν θείαν σου μνήμην, ἀνευφημοῦμεν ἐκ πόθου.

Θεοτοκίον

Τὴν ζόφωσιν ἀπέλασον, ἀνομιῶν μου Δέσποινα, ἡ τοῦ Φωτὸς τοῦ ἀστέκτου, οὖσα δοχεῖον Παρθένε, καὶ πρὸς Χριστοῦ με ἴθυνον, τὸ φέγγος τὸ σωτήριον, ἵνα ὑμνῶ σε πάντοτε, ὡς ὁδοδείκτην ζωῆς μου, λαμπρὸν καὶ πάμφωτον Μῆτερ.

Εἰς τοὺς Αἴνους

Ἱστῶμεν Στίχους δ΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια

Ἦχος α΄ Τῶν οὐρανίων ταγμάτων.

Ἀρχιερέων ἐνθέων, ὄντως διάκοσμε, καὶ Ἀρσινόης εὖχος, τιμαλφὲς τῆς ἐν Κύπρῳ, Ἀρίστων θεοφόρε δέξαι ἡμῶν, τῶν εὐσχήμως τιμώντων σε, τόδε μελῴδημα πάτερ πανευλαβῶς, ὡς θυμίαμα εὐπρόσδεκτον.

Τὸν ἱεράρχην Κυρίου, τὸν πνευματέμφορον, τὸν πατρικῶς ἀγέλης, προϊστάμενον πάσης, αὐτοῦ καὶ Ἀρσινόης χειραγωγόν, τοῦ λαοῦ πρὸς μετάνοιαν, καὶ σωτηρίαν ὀφθέντα πανευλαβῶς, νῦν Ἀρίστωνα τιμήσωμεν.

Τὸν ὀλετῆρα δαιμόνων, καὶ χαριτόβρυτον, τῷ ὄντι ἱεράρχην, ἐν ψυχῆς κατανύξει, τιμήσωμεν χορεῖαι τῶν χοϊκῶν, εὐλαβῶς ἀνακράζοντες· μὴ διαλείπῃς Ἀρίστων ἐκδυσωπῶν, ὑπὲρ τῶν μακαριζόντων σε.

Τὴν σὴν ὑπέρλαμπρον μνήμην, πανηγυρίζοντες, ἀρχιερεῦ θεόφρον, καὶ σεπτὲ Ἀρσινόης, Ἀρίστων σοὺς ἀγῶνας τοὺς εὐκλεεῖς, ἀνυμνοῦμεν πρὸς κάθαρσιν, ἐκ τοῦ φυράματος ὄντως τοῦ χοϊκοῦ, καὶ τῶν λογισμῶν διόρθωσιν.

Δόξα... Ἦχος πλ. α΄

Τὸν πεπλησμένον τῆς τοῦ Κυρίου, καὶ τοῦ πλησίον ἀγάπης, ἱερομύστην θειότατον Ἀρσινόης, Ἀρίστωνα τὸν μέγιστον τιμήσωμεν· οὗτος γὰρ ἁγιοπρεπῶς πολιτευσάμενος, ἐκόσμησε τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν, ποιμαντικοῖς τρόποις καὶ συμπαθείᾳ ἀφάτῳ· ἰθύντωρ οὖν ἐμπεριστάτων ὀφθεὶς πρὸς σωτηρίαν, καὶ οὐρανοπολίτης γενόμενος, Χριστῷ ἀεὶ πρεσβεύει καὶ ἡμᾶς κατευθῦναι, πρὸς ὅρμον ἀφθαρσίας ἀχείμαστον.

Καὶ νῦν... Θεοτοκίον

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία Μεγάλη, καὶ Ἀπόλυσις

ΕΝ ΤΗι ΛΕΙΤΟΥΡΓΙΑι

Τὰ Τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἱεράρχου ἡ γ΄ καὶ ἡ ς΄ ᾠδή.

Ὁ Ἀπόστολος

Προκείμενον, Ἦχος α΄ (Ψαλμ. μη΄)

Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Στίχ. Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη, ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην.

**Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα**

(Κεφ. ζ΄ 26-28, η΄ 1-2)

(Ζήτει τῇ ΙΓ΄ Νοεμβρίου)

Ἀδελφοί, τοιοῦτος ἡμῖν ἔπρεπεν ἀρχιερεύς, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν καὶ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος, ὃς οὐκ ἔχει καθ᾿ ἡμέραν ἀνάγκην, ὥσπερ οἱ ἀρχιερεῖς, πρότερον ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν θυσίας

ἀναφέρειν, ἔπειτα τῶν τοῦ λαοῦ· τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ ἑαυτὸν ἀνενέγκας. Ὁ νόμος γὰρ ἀνθρώπους καθίστησιν ἀρχιερεῖς ἔχοντας ἀσθένειαν, ὁ λόγος δὲ τῆς ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον, υἱὸν εἰς τὸν αἰῶνα τετελειωμένον.

Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις, τοιοῦτον ἔχομεν ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς, τῶν ἁγίων λειτουργὸς καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄνθρωπος.

Ἀλληλούϊα (γ΄), Ἦχος β΄ (Ψαλμ. λς΄)

Στίχ. Στόμα δικαίου μελετήσει σοφίαν, καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν.

Ὁ νόμος τοῦ Θεοῦ αὐτοῦ ἐν καρδίᾳ αὐτοῦ, καὶ οὐχ ὑποσκελισθήσεται τὰ διαβήματα αὐτοῦ.

## Τὸ Εὐαγγέλιον

### Ἐκ τοῦ κατὰ Ἰωάννην

(Κεφ. ι΄ 9-16)

(Ζήτει ἐν τῇ Λειτουργίᾳ τῆς ΙΓ΄ Νοεμβρίου)

Εἶπεν ὁ Κύριος· Ἐγώ εἰμι ἡ θύρα· δι᾽ ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει...

## Κοινωνικὸν

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.

Ἀλληλούϊα.

## Μεγαλυνάριον

Χαίροις Ἀρσινόης ὁ εὐκλεής, μύστης καὶ σεμνότης, θεοφόρων ἱεραρχῶν· χαίροις δαιμονίων, Ἀρίστων καθαιρέτης, καὶ τῶν πιστῶν ἁπάντων, πρέσβυς ἀκοίμητος.

## Τετράστιχον

Ἀρίστωνα ὕμνησε, Ἀρίστου χάριν,
Ἱεροῦ ψαλμῳδοῦ, Χαραλάμπης πόθῳ.

Σῆς ποίμνης διάδοχον σκέπε, Ἀρίστων,
Σεμνὸν Γεώργιον, Χαραλάμπης κράζει.

## ΠΗΓΑΙ ΚΑΙ ΒΟΗΘΗΜΑΤΑ

### 1. Πηγαὶ

#### α) Χειρόγραφος παράδοσις

Ἐθνικὴ Βιβλιοθήκη Παρισίων, χειρόγραφος κῶδιξ *Paris. gr.* 1189, περγαμηνός, τέλη ΙΒ' - ἀρχαὶ ΙΓ' αἰῶνος, 330Χ240 χιλ., φφ. 118r, 119r: Νεοφύτου πρεσβυτέρου μοναχοῦ καὶ ἐγκλείστου, Ἐγκώμιον εἰς τὸν βίον καὶ εἰς τὰ θαύματα τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀρκαδίου, ἐπισκόπου πόλεως Ἀρσινόης.

Βιβλιογραφία περὶ τοῦ χειρογράφου:


1. H. Delehaye, "Saints de Chypre", *Analecta Bollandiana* 26 (1907), σσ. 197-207.
2. Ἰ. Χατζηϊωάννου, Ἱστορία καὶ ἔργα Νεοφύτου Πρεσβυτέρου Μοναχοῦ καὶ Ἐγκλείστου, Ἐν Ἀλεξανδρείᾳ 1914, σσ. 280-299.
3. A. Ehrhard, Überlieferung und Bestand der Hagiographischen und Homiletischen literatur der Griechischen Kirche, τόμ. III, Leipzig 1939, σσ. 681-682.
4. F. Halkin, Manuscrits Grecs de Paris Inventaire Hagiographique, Βρυξέλλαι 1968, σσ. 136-137.
5. C. N. Constantinides and R. Browning, *Dated Greek Manuscripts from Cyprus to the year 1570*, Λευκωσία 1993, σσ. 106, 107.
6. Ἱερᾶς Βασιλικῆς καὶ Σταυροπηγιακῆς μονῆς Ἁγίου Νεοφύτου, Ἁγίου Νεοφύτου τοῦ Ἐγκλείστου, Συγγράμματα, τόμ. Γ', Πανηγυρικὴ Α', Πάφος 1999, σσ. 1-51, 302-316.
7. Ἱερᾶς Ἀρχιεπισκοπῆς Κύπρου, Κύπρια Μηναῖα, τόμ. Ι', Μὴν Αὔγουστος, Ἐν Λευκωσίᾳ 2008, σσ. 185-189.
8. G. Christodoulou, Le livre des Catéchèses de saint Néophyte le Reclus: texte et commentaire historique, Μελέται καὶ Ὑπομνήματα VII, Λευκωσία 2009, σσ. 292-311.


#### β) Ἔντυποι ἐκδόσεις


1. Joannes Bollandus, "XXII Februarii. Sancti qui Kalendas Martii coluntur", *Acta Sanctorum Februarius,* tomus III, (1658), σσ. 280–357.
2. Μηνολόγιον Βασιλείου αὐτοκράτορος, *Migne, Patrologia Graeca* 117 (1864), σσ. 323-324.
3. Νικοδήμου Ἁγιορείτου, Συναξαριστὴς τῶν δώδεκα μηνῶν τοῦ ἐνιαυτοῦ, τόμ. Α', Ἀθήνησι 1868, σσ. 472-474.
4. Κ. Χρ. Δουκάκη, Μέγας Συναξαριστής, Φεβρουάριος, Ἐν Ἀθήναις 1890, σσ. 344-348.
5. H. Delehaye, *Synaxarium Ecclesiae Constantinopolitanae e codice Sirmondiano, Propylaeum ad Acta Sanctorum Novembris,* Βρυξέλλαι 1902, σσ. 483-484.
6. Μηναῖον τοῦ Φεβρουαρίου (ἔκδ. Π. Π. Παρασκευόπουλος), Ἐν Ἀθήναις 1904, σσ. 114-118.
7. Μιχαὴλ Ἰ. Γαλανοῦ, Οἱ βίοι τῶν Ἁγίων τοῦ Μηνολογίου τῆς Ὀρθοδόξου Ἑλληνικῆς Ἐκκλησίας, Μὴν Φεβρουάριος (ἔκδ. α' 1906, ἔκδ. β' 1951, ἔκδ. γ' 1988), σσ. 106-107.
8. Μηναῖον τοῦ Φεβρουαρίου (ἐπιστασίᾳ Γεωργίου Γεγλέ, ἔκδ. Μιχαὴλ Σαλίβερος), Ἀθῆναι ἄ. ἔ., σσ. 164-170.
9. Μηναῖον τοῦ Φεβρουαρίου (ἔκδ. «Τὸ Φῶς»), Ἐν Ἀθήναις 1961, σσ. 207-214.
10. J. Mateos, Le Typicon de la Grande Église I, Ῥώμη 1962, σσ. 236-237.
11. Μηναῖον τοῦ Φεβρουαρίου (ἔκδ. «Ἀποστολικὴ Διακονία τῆς Ἐκκλησίας τῆς Ἑλλάδος»), Ἐν Ἀθήναις 1980, σσ. 114-118.
12. Ὡρολόγιον τὸ Μέγα (ἔκδ. «Ἀποστολικὴ Διακονία τῆς Ἐκκλησίας τῆς Ἑλλάδος»), Ἐν Ἀθήναις 1986, σ. 321.
13. Μέγας καὶ ἱερὸς Συνέκδημος Ὀρθοδόξου Χριστιανοῦ (ἔκδ. «Ἀστήρ»), Ἀθῆναι 1989, σ. 710.
14. Macaire hiéromoine de Simonos – Petras, Le Synaxaire, Vies des Saints de l' Église Orthodoxe, tome troisième, Février, Mars, Avril (1 au 15), Θεσσαλονίκη 1990, σσ. 195-200.
15. Ἱερομονάχου Ἀθανασίου Σιμωνοπετρίτου, Ὑμνογράφου τῆς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, Ἀπολυτίκιον καὶ Μεγαλυνάρια εἰς ἅγιον Ἀρίστωνα, ἐπίσκοπον Ἀρσινόης Κύπρου, συνταχθέντα κατόπιν αἰτήσεως Παπασταύρου Παπαγαθαγγέλου, ἐν τῇ Ἱερᾷ Μονῇ Σίμωνος Πέτρας, Ἁγίου Ὄρους, τὴν 11ην Σεπτεμβρίου 1993, ἐν Παπασταύρου Παπαγαθαγγέλου, Μορφὲς ποὺ ἁγίασαν τὴν Κύπρο, ε' ἔκδοση, Λευκωσία 1998, σ. 302.
16. Ἀσματικὴ ἀκολουθία ἁγίου Ἀρίστωνος, ἐπισκόπου Ἀρσινόης τῆς κατὰ τὴν νῆσον Κύπρον, συνταχθεῖσα ὑπὸ δρ. Σολομῶντος Ἰ. Χατζησολωμοῦ, Πάφος 2000.
17. Hieromonk Makarios of Simonos Petra, *The Synaxarion, The Lives of the Saints of the Orthodox Church* (Translated from the French by Christopher Hookway), vol. three, January, February, Ormylia (Chalkidike) 2001, σσ. 579-585.
18. Ἱερομονάχου Μακαρίου Σιμωνοπετρίτου, Νέος Συναξαριστὴς τῆς Ὀρθοδόξου Ἐκκλησίας (Διασκευὴ ἐκ τοῦ Γαλλικοῦ ὑπὸ Ξενοφῶντος Κομνηνοῦ), τόμ. ἕκτος, Φεβρουάριος, Ἀθῆναι 2006, σσ. 241-247.
19. Ἱερᾶς Συνόδου Ἐκκλησίας Κύπρου, Ἑορτολόγιον, Τυπικαὶ Διατάξεις Ἱερῶν Ἀκολουθιῶν 2009, σσ. 134-137.


#### γ) Ἡ παροῦσα ἔκδοσις

Ἡ ἀκολουθία τοῦ ἁγίου πατρὸς ἡμῶν Ἀρίστωνος, ἐπι-

σκόπου Ἀρσινόης, Φεβρουαρίου ΚΒ΄, συνετέθη ὑπὸ τοῦ ὑμνογράφου δρος Χαραλάμπους Μ. Μπούσια τὸ ἔτος 2004, τῇ παρακλήσει τοῦ ἱεροψάλτου Ἀρίστου Θουκυδίδου, χοράρχου Μετοχίου Ἱερᾶς Μονῆς Κύκκου Ἅγιος Προκόπιος, ἐν Λευκωσίᾳ. Ἡ παροῦσα ἀκολουθία ἐνεκρίθη ὑπὸ τοῦ Θεοφιλεστάτου Χωρεπισκόπου Ἀρσινόης κ. Γεωργίου, νῦν Πανιερωτάτου Μητροπολίτου Πάφου κ. Γεωργίου.

Εὐχαριστοῦμεν θερμῶς ὅλους τοὺς συντελέσαντας εἰς τὴν σύνθεσιν τῆς ἀκολουθίας. Διὰ τῆς παραχωρήσεως αὐτῆς πρὸς δημοσίευσιν εἰς τὰ «Κύπρια Μηναῖα» προσφέρεται εἰς τὸ χριστεπώνυμον πλήρωμα τῆς Ἐκκλησίας ἡ δυνατότης λειτουργικῆς τιμῆς τῆς μνήμης τοῦ Ἁγίου αὐτοῦ, ὅστις ὑπῆρξε ἄριστος ποιμενάρχης Ἀρσινόης καὶ ἰσχυρὸς τῶν δαιμόνων φυγαδευτής.

#### δ) Βίοι - Συναξάρια - Ἐγκώμια

1. Νεοφύτου πρεσβυτέρου μοναχοῦ καὶ ἐγκλείστου, Ἐγκώμιον εἰς τὸν βίον καὶ εἰς τὰ θαύματα τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀρκαδίου ἐπισκόπου πόλεως Ἀρσινόης, Ἐν H. Delehaye, "Saints de Chypre", *Analecta Bollandiana* 26 (1907), σ. 203.

2. Νεοφύτου Πρεσβυτέρου Μοναχοῦ καὶ Ἐγκλείστου, Ἐγκώμιον εἰς τὸν βίον καὶ εἰς τὰ θαύματα τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀρκαδίου ἐπισκόπου πόλεως Ἀρσινόης, Ἐν Ἰωάννου Χ. Χατζηϊωάννου, Ἱστορία καὶ ἔργα Νεοφύτου Πρεσβυτέρου Μοναχοῦ καὶ Ἐγκλείστου, Ἐν Ἀλεξανδρείᾳ 1914, σ. 295.

3. Σωφρονίου Εὐστρατιάδου πρ. Λεοντοπόλεως, Ἁγιολόγιον τῆς Ὀρθοδόξου Ἐκκλησίας, 1935 (ἔκδ. «Ἀποστολικὴ Διακονία τῆς Ἐκκλησίας τῆς Ἑλλάδος»), σσ. 55-56.

4. Ἰωάννου μοναχοῦ Ἁγιορείτου, Βίοι τῶν ἐν Κύπρῳ Ἁγίων, μετὰ Χαιρετισμῶν, Κύπρος 1952, σ. 22.

5. Μακαριωτάτου Ἀρχιεπισκόπου Κύπρου κ.κ. Μακαρίου Γ΄, Κύπρος, ἡ ἁγία νῆσος, Ἀθῆναι 1968, σ. 10, Λευκωσία 1997, σ. 14.

6. Ἀκολουθία τῶν ἐν Κύπρῳ Ἁγίων, ἔκδ. α΄ Λευκωσία 1972, σ. 17, ἔκδ. β΄ Κύπρος 1988, σσ. 34, 60, 117, ἔκδ. γ΄ Κύπρος 2003, σσ. 45, 46, 68.

7. Παπασταύρου Παπαγαθαγγέλου, Μορφὲς ποὺ ἅγιασαν τὴν Κύπρο, ἔκδ. ε΄ Λευκωσία 1998, σσ. 299-302, 558, 605.

8. Νεοφύτου πρεσβυτέρου μοναχοῦ καὶ ἐγκλείστου, Ἐγκώμιον εἰς τὸν βίον καὶ εἰς τὰ θαύματα τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀρκαδίου ἐπισκόπου πόλεως Ἀρσινόης, ἐν Ἁγίου Νεοφύτου τοῦ Ἐγκλείστου, Συγγράμματα, τόμ. Γ΄, Πανηγυρικὴ Α΄, Ἔκδοση Ἱερᾶς Βασιλικῆς καὶ Σταυροπηγιακῆς Μονῆς Ἁγίου Νεοφύτου, Πάφος 1999 σσ. 310,311.

## 2. Βοηθήματα

### α) Μελέται

i) Ἀρίστων, ἐπίσκοπος Ἀρσινόης

1. Cl. D. Cobham, T*he Churches and Saints of Cyprus,* Λονδῖνον 1910, σ. 7: Kholi, P. Michael, Arch., σ. 31: Aristos (Ariston).

2. Σωφρονίου Εὐστρατιάδου πρ. Λεοντοπόλεως, Ἁγιολόγιον τῆς Ὀρθοδόξου Ἐκκλησίας, 1935, σσ. 55-56.

3. Ἰωάννου μοναχοῦ Ἁγιορείτου, Βίοι τῶν ἐν Κύπρῳ Ἁγίων, μετὰ Χαιρετισμῶν, Κύπρος 1952, σ. 22.

4. Κ. Π. Κύρρη, "Κυπριακὰ ἁγιολογικὰ καὶ μοναστηριακὰ μελετήματα, 3. Ἀρκάδιος ὁ Ἀρσινόης ἐπίσκοπος, ὁ θαυματουργός", *Κυπριακαὶ Σπουδαὶ* 27 (1963), σσ. 193-210.

5. Συντάξεως, "Ἀρίστων Ἐπίσκοπος Ἀρσινόης", *Θρησκευτικὴ καὶ Ἠθικὴ Ἐγκυκλοπαιδεία* 3(1963), σ. 153.

6. Μακαριωτάτου Ἀρχιεπισκόπου Κύπρου κ.κ. Μακαρίου Γ΄, Κύπρος, ἡ ἁγία νῆσος, Ἀθῆναι 1968, σ. 10, Λευκωσία 1997, σ. 14, πίν. 3.

7. Ἰωάννου Π. Τσικνοπούλλου, "Μερικὴ συμπλήρωσις τοῦ καταλόγου ἐπισκόπων Πάφου καὶ Ἀρσινόης", *Κυπριακαὶ Σπουδαὶ* 34 (1970), σσ. 184-185: 2. Ὁ ἐπίσκοπος Ἀρσινόης Ἀρίστων (τέλος τοῦ 4ου αἰῶνος καὶ ἀρχὴ τοῦ 5ου).

8. Ἀκολουθία τῶν ἐν Κύπρῳ Ἁγίων, ἔκδ. α΄ Λευκωσία 1972, σ. 17, ἔκδ. β΄ Κύπρος 1988, σσ. 34, 60, 117, ἔκδ. γ΄ Κύπρος 2003, σσ. 45, 46, 68.

9. Γεωργίου Χατζηκωστῆ, "Ἀρίστων ἅγιος", *Μεγάλη Κυπριακὴ Ἐγκυκλοπαίδεια* 2(1985), σ. 289.

10. Κ. Χατζηψάλτη, "Περὶ τῆς Κυπριακῆς ἐπισκοπῆς Ἀρσινόης κατὰ τὴν Βυζαντινὴν περίοδον", *Βυζαντινὰ* 13(1985), σσ. 453-466.

11. Παπασταύρου Παπαγαθαγγέλου, Μορφὲς ποὺ ἅγιασαν τὴν Κύπρο, ἔκδ. ε΄, Λευκωσία 1998, σσ. 299-302, 558, 605.

ii) Ἀρίστων ἱερομάρτυς, διάδοχος Ἀποστόλου Βαρνάβα, ἐν Σαλαμίνῃ

1. Estienne de Lusignan, Description de toute l' isle de Chypre, et des Roys, et Seigneurs..., Παρίσι 1580, σ. 62.

2. Joannes Bollandus, "De S. Aristione antiquo Christi discipulo, Salaminae in Cypro", *Acta Sanctorum Februarius,* tomus III, (1658), σσ. 280, 283-284.

3. Νεοφύτου Ῥοδινοῦ, Περὶ ἡρώων, στρατηγῶν, φιλοσόφων, ἁγίων καὶ ἄλλων ὀνομαστῶν ἀνθρώπων, ὁποῦ ἐβγήκασιν ἀπὸ τὸ νησὶ τῆς Κύπρου, Ἐν Ῥώμῃ παρὰ τῷ Μασκάρδῳ, ἔτει τῆς Χριστοῦ γεννήσεως ,αχνθ΄ (1659), ἐν Γ. Βαλέτα, Νεόφυτος Ροδινός, Ἀθήνα 1979, σ. 178, ἐν Θ. Παπαδοπούλλου, Νεόφυτος Ροδινός, Λευκωσία 2007, σσ. 68-69.

4. Ἀρχιμανδρίτου Κυπριανοῦ, Ἱστορία χρονολογικὴ τῆς νήσου Κύπρου, Ἑνετίησιν 1788, σ. 346, Λευκωσία 1902, σ. 516, Λευκωσία 1933, σ. 511, Λευκωσία 1971 (ἀνατύπωσις ἐκδ. 1788), σ. 346.

5. Sancti Eusebii Hieronymi, Opera omnia, *Migne, Patrologia Latina* 23 (1845), (1983), σσ. 669–670, De viris illustribus, caput XVIII, Papias Joannis auditor, Hierapolitanus.

6. Εὐσεβίου τοῦ Παμφίλου, Ἐκκλησιαστικὴ Ἱστορία, βιβλίον γ΄ κεφ. λθ΄, Περὶ τῶν Παπία συγγραμμάτων, *Migne, Patrologia Graeca* 20(1857), σσ. 295-302.

7. Νικηφόρου Καλλίστου τοῦ Ξανθοπούλου, Ἐκκλησιαστικὴ Ἱστορία, βιβλίον γ΄ κεφ. κ΄, *Migne, Patrologia Graeca* 145 (1865), σσ. 935-940.

8. J. Hackett, *A History of the Orthodox Church of Cyprus,* Λονδῖνον 1901, σσ. 5, 304, 372, 375, 430, 683.

9. Cl. D. Cobham, *The Churches and Saints of Cyprus,*

Λονδῖνον 1910, σ. 31: Aristion one of the LXXII.

10. Ἀρχιμ. Χρυσοστόμου Ἀ. Παπαδοπούλου, Καθηγητοῦ τοῦ Πανεπιστημίου, "Περὶ τῶν Ο' Ἀποστόλων", *Ἐκκλησιαστικὸς Φάρος* 16 (1917), σ. 464.

11. Ἰωάννου Φωκυλίδου, "Ἁγίου Ἱερωνύμου, Περὶ ἀνδρῶν ἐνδόξων, κατὰ μετάφρασιν ἐκ τοῦ Λατινικοῦ", *Ἐκκλησιαστικὸς Φάρος* 23 (1924), σ. 125.

12. Ἰω. Χάκκετ, Ἱστορία τῆς Ὀρθοδόξου Ἐκκλησίας τῆς Κύπρου, κατὰ μετάφρασιν καί συμπλήρωσιν Χαρ. Ἰ. Παπαϊωάννου, τόμ. Α', Ἐν Ἀθήναις 1923, σ. 12, τόμ. Β', Ἐν Πειραιεῖ 1927, σσ. 68, 167-168, 176, 291.

13. Σωφρονίου Εὐστρατιάδου πρ. Λεοντοπόλεως, Ἁγιολόγιον τῆς Ὀρθοδόξου Ἐκκλησίας, 1935, σ. 55.

14. H. Delehaye, P. Peeters, M. Coëns, B. Gaiffier, P. Grosjean, Fr. Halkin, *Martyrologium Romanum, Propylaeum ad Acta Sanctorum Decembris,* Βρυξέλλαι 1940, σσ. 72-73.

15. Ἰωάννου μοναχοῦ Ἁγιορείτου, Βίοι τῶν ἐν Κύπρῳ Ἁγίων, μετὰ Χαιρετισμῶν, Κύπρος 1952, σσ. 8, 15, 20.

16. Maximilianus Bonnet, Acta Philippi et Acta Thomae, accedunt Acta Barnabae (Georg Olms, Verlagsbuchhandlung Hildesheim 1959), σ. 297.

17. Συντάξεως, "Ἀριστίων ἢ Ἀρίστων", *Θρησκευτική καί Ἠθική Ἐγκυκλοπαιδεία* 3 (1963), σ. 139.

18. Μακαριωτάτου Ἀρχιεπισκόπου Κύπρου κ.κ. Μακαρίου Γ', Κύπρος, ἡ ἁγία νῆσος, Ἀθῆναι 1968, σ. 9, Λευκωσία 1997, σ. 13.

19. Κυριάκου Χατζηιωάννου, Ἡ ἀρχαία Κύπρος εἰς τὰς Ἑλληνικὰς Πηγάς, τόμ. Α', α' ἔκδ. Λευκωσία 1971, ἐπανέκδ. Λευκωσία 1985, σσ. 326, 327, 338, 339, τόμ. Ε', Λευκωσία 1983, σ. 302.

20. Ἀκολουθία τῶν ἐν Κύπρῳ Ἁγίων, ἔκδ. α' Λευκωσία 1972, σ. 17, ἔκδ. β' Κύπρος 1988, σσ. 34, 60, 117, ἔκδ. γ' Κύπρος 2003, σσ. 45, 67.

21. Λουκᾶ Χαρ. Φίλη, Τὸ πρόβλημα τῶν Ἑβδομήκοντα Ἀποστόλων τοῦ Κυρίου, Ἐν Ἀθήναις 1977, ἔκδ. β' βελτιωμένη, σσ. 223, 228.

22. Ἀ. Παυλίδη, "Ἀριστίων ἢ Ἀρίστων ἅγιος", *Μεγάλη Κυπριακὴ Ἐγκυκλοπαίδεια* 2 (1985), σ. 286.

iii) Ἀρίστων ἐπίσκοπος ὁμολογητὴς

1. Sancti Eusebii Hieronymi, Opera omnia, Epistola XCII: Seu Theopili Synodica ad episcopos Palaestinos et ad Cypros, *Migne, Patrologia Latina* 22 (1845), Turnhout (Belgium 1986), σ. 760.

2. Joanne Pinio, "De s. Philonide ep. et Mart. Curii in Cypro insula. Loci descriptio, cultus et martyrium e Mss. Graecis", *Acta Sanctorum Augusti,* tomus VI, Parisiis et Romae 1868, σσ. 541, 544-545.

3. Hippolyte Delehaye, *Synaxarium Eccelesiae Constantinopolitanae e codice Sirmondiano, Propylaeum ad Acta Sanctorum Novembris,* Βρυξέλαι 1902, σσ. 753, 932-936.

4. George Hill, *A History of Cyprus,* vol. I, Καΐμπριτζ 1940, σ. 251.

5. Κ. Π. Κύρρη, "Ἀρίστων Ἐπίσκοπος", *Θρησκευτικὴ καὶ Ἠθικὴ Ἐγκυκλοπαιδεία* 3 (1963), σ. 153.

6. Μακαριωτάτου Ἀρχιεπισκόπου Κύπρου κ.κ. Μακαρίου Γ', Κύπρος, ἡ ἁγία νῆσος, Ἀθῆναι 1968, σ. 10, Λευκωσία 1997, σ. 14.

7. Ἰωάννου Π. Τσικνοπούλλου, Ἱστορία τῆς Ἐκκλησίας Πάφου, Λευκωσία 1971, σ. 51: Ἀρίστων ἐπίσκοπος.

8. Γεωργίου Ν. Χατζηκωστῆ, "Ἀρίστων ἐπίσκοπος ἀκαθόριστης ἐπισκοπῆς στὴν Κύπρο", *Μεγάλη Κυπριακὴ Ἐγκυκλοπαίδεια* 2 (1985), σ. 289.

9. Ἀκολουθία τῶν ἐν Κύπρῳ Ἁγίων, ἔκδ. β' Κύπρος 1988, σσ. 34, 117.

10. Ἱερᾶς Ἀρχιεπισκοπῆς Κύπρου, Κύπρια Μηναῖα, τόμ. Η', Μὴν Ἰούνιος, Ἐν Λευκωσίᾳ 2002, σσ. 137-138: Συναξάριον ἱερομάρτυρος Φιλωνίδου, Ἰουνίου ΙΖ'.

**β) Ναογραφία**

1. D. G. Hogarth, *Devia Cypria,* Λονδῖνον 1889, σ. 16: Arsinoe.

2. Σίμου Μενάνδρου, "Τοπωνυμικὸν τῆς Κύπρου", *Ἀθηνᾶ* 18 (1905), Τοπωνυμικαὶ καὶ λαογραφικαὶ μελέται, Δημοσιεύματα Κέντρου Ἐπιστημονικῶν Ἐρευνῶν IV, Λευκωσία 1970, σσ. 10, 33, 88: Ἀρσινόη, Ἀρσινόης πόλις, 62: Χόλη.

3. Cl. D. Cobham, *The Churches and Saints of Cyprus,* Λονδῖνον 1910, σ. 7: Kholi, P., Michael, Arch.

4. George Jeffery, *A Description of the Historic Monuments of Cyprus,* Λευκωσία 1918, Λονδῖνον 1983, σ. 406: Arsinoe.

5. R. Gunnis, *Historic Cyprus,* Λονδῖνον 1936, 1947, σ. 269: Choli.

6. Ν. Γ. Κυριαζῆ, Τὰ χωρία τῆς Κύπρου, Λάρναξ 1952, σ. 185: Χώλη.

7. Ἰωάννου Π. Τσικνοπούλλου, Ἱστορία τῆς Ἐκκλησίας Πάφου, Λευκωσία 1971, σσ. 51: Ἐπίσκοπος Ἀρσινόης Ἀρίστων, 141: Χῶλι, 157: ναὸς Ἀρίστωνος, 158: Συνοικισμὸς πλησίον χωρίου Χῶλι, 203: ναὸς Ἀρχαγγέλου, Χῶλι, 220: χάρτης.

8. Κ. Α. Πιλαβάκη, "Συναγωγὴ Κυπριακοῦ τοπωνυμικοῦ ὑλικοῦ", *Κυπριακαὶ Σπουδαὶ* 42 (1978), Παράρτημα σσ. 262-263: Χόλι.

9. M. Christodoulou, *A Concise Gazetteer of Cyprus,* Λευκωσία 1982, σσ. 16: Ἀρσινόη, 62: Χόλη.

10. Ἀθανασίου Παπαγεωργίου "Ἀρχαγγέλου ἐκκλησία, Χόλη", *Μεγάλη Κυπριακὴ Ἐγκυκλοπαίδεια* 2(1985), σσ. 340-342 (βλ. καὶ 11(1989), σ. 172: Φωτογραφία ἐκκλησίας Ἀρχαγγέλου Μιχαὴλ στὸ χωριὸ Χόλη).

11. Ἀ. Παυλίδη, "Ἀρσινόη, Ἀρσινόη-Μάριον", *Μεγάλη Κυπριακὴ Ἐγκυκλοπαίδεια* 2 (1985), σσ. 328-329.

12. M. Christodoulou, *A Complete Gazetteer of Cyprus* I., Λευκωσία 1987, σσ. 180: Ἀρσινόη, 1282: Χόλη, 1665: Χόλη.

13. Ἀθανασίου Παπαγεωργίου, "Παναγίας ἐκκλησία, Χόλη", *Μεγάλη Κυπριακὴ Ἐγκυκλοπαίδεια* 11 (1989), σ. 59.

14. Συντάξεως, "Χόλη", *Μεγάλη Κυπριακὴ Ἐγκυκλοπαίδεια* 14 (1991), σσ. 67-68.

15. Ἀθανασίου Παπαγεωργίου, Ἱερὰ Μητρόπολις Πάφου, Ἱστορία καὶ Τέχνη 1950 χρόνια ἀπὸ τὴν ἵδρυσή της, Λευκωσία 1996, σσ. 55: Ἀρσινόη, 150: Βημόθυρα ἐκκλησίας Ἀρχαγγέλου στὴ Χόλι.

16. Gilles Grivaud, Villages désertés à Chypre (fin XIIe– fin XIXe siécle), Ἵδρυμα Ἀρχιεπισκόπου Μακαρίου Γ', Γραφεῖον

Κυπριακῆς Ἱστορίας, Μελέται καὶ Ὑπομνήματα III, Λευκωσία 1998, σσ. 248, 472: Choli, 441, 443: Arsinoi.

17. Ἱερᾶς Συνόδου Ἐκκλησίας Κύπρου, Ἑορτολόγιον, Τυπικαὶ Διατάξεις Ἱερῶν Ἀκολουθιῶν 2009, σ. 498: Χόλη, Ἱερὸς ναὸς Ἀρχαγγέλου Μιχαήλ.

### γ) Εἰκονογραφία

1. Ἰωάννου Π. Τσικνοπούλλου, Ἱστορία τῆς Ἐκκλησίας Πάφου, Λευκωσία 1971, σσ. 127: Εἰκὼν ἀρ. 9: Ὁ ἅγιος Ἀρίστος (=Ἀρίστων) ὁ θαυματουργός, Μουσεῖον Ἱ. Μητροπόλεως Πάφου, 187: Εἰκών: Ὁ ἅγιος Ἀρίστων, Μουσεῖον Ἱ. Μητροπόλεως Πάφου. Φῶτο Σίπυλος.

2. Μακαριωτάτου Ἀρχιεπισκόπου Κύπρου κ.κ. Μακαρίου Γ΄, Κύπρος, ἡ ἁγία νῆσος, Λευκωσία 1997, πίν. 3: Ὁ Ἅγιος Ἀρίστων. Τοιχογραφία τοῦ Καθολικοῦ τῆς Μονῆς τῆς Παναγίας Ἀμασγοῦ, Μονάγρι. Γύρω στὰ 1200.

3. Παπασταύρου Παπαγαθαγγέλου, Μορφὲς ποὺ ἅγιασαν τὴν Κύπρο, ἔκδ. ε΄ Λευκωσία 1998, σ. 558: Ὁ ἅγιος Ἀρίστων ἐπίσκοπος Ἀρσινόης. Εἰκόνα ἀπὸ τὴν ἐκκλησία τῆς Παναγίας. Χόλη. Τώρα στὸ Βυζαντινὸ Μουσεῖο τῆς Ἱερᾶς Μητροπόλεως Πάφου. 16ος αἰώνας.